δρόμων τετραχοινείκῳ καθαρὰς ἀπὸ δημοσίων ἐν τῇ μητροπ(όλει). Μένειν οὖν τοῖς γαμοῦσι [21]*[τῷ τε Σουχάμμωνι καὶ τῇ Ἀφροδι]τοῦτι τὴν πρὸς ἀλλήλους συμβίωσι⟨ν⟩, τοῦ Σουχάμμωνος ἐπαρκοῦντος αὐτῇ τὰ* [22]*[δέοντα πάντα καὶ τὸ]ν ἱματισμὸν καὶ τὰ ἄλλα ὅσα προσήκει γυναικὶ γαμετῇ κατὰ δύναμιν καὶ ποιουμένου* [23]*[τὰ ἔργα τῶν πα]τρικῶν ἀρουρῶν καὶ τοῦ ἡμίσους μέρους τῶν περὶ τὸ Μητροδώρου κλήρου ἀρουρῶν τριῶν* [24]*[. . . . . ἀναμε]τροῦντος εἰς τὸ δημόσιον [τὰ ὑ]πὲρ αὐτῶν τελέσματα πάντα ἀπὸ τοῦ αὐτοῦ εἰσιόντ(ος)* [25]*[ἔτους, τῶν δὲ τοῦ λο]ιποῦ ἡμίσους μέρους* 25
τῶν αὐτῶν ἀρουρῶν τριῶν ἔργων καὶ δημοσίων ἐφ' ὃν ἡ [26]*[Ἀφροδίτη περίεστι] χρόνον ὄντων πρὸς αὐτὴν Ἀφροδείτην καὶ αὐτῆς δὲ Ἀφροδιτοῦτος ἀκατηγόρητον ἑαυτὴν* [27]*[παρεχομένης ἐν τ]ῇ συμβιώσει· ἐὰν δὲ διαφορᾶς τοῖς γαμοῦσι γενομένης χωρίζωνται ἀπ' ἀλλήλων,* [28]*[ἀποδότω ὁ Σουχάμμων τῇ] μητρὶ Ἀφροδείτῃ ἢ μὴ περιούσῃ⟨ς⟩ τῇ θυγατρὶ Ἀφροδιτοῦτι τὴν προκιμένην* [29]*[φερνὴν τὰς μὲν τοῦ χρυσίου τετάρτας] δέκα τρεῖς ἐν τοῖς αὐτοῖς κοσμαρίοις ἄγοντα τὴν αὐτ(ὴν)* [30]*[ὁλκὴν . . . . καὶ τὰς τοῦ]* 30
ἀρ[γυ]ρ[ίο]υ δραχμὰς διακοσίας ἐπὶ μὲν τῆς ἀποπομπῆς παραχρῆμ(α) [31]*[ἐπὶ δὲ τῆς ἑκουσίου ἀπαλλαγῆς ἐν ἡμέ]ραις τριάκοντα τῆς πράξεως τῇ ἀνακομιζομένῃ γεινομ(ένης) καθάπερ* [32]*[ἐκ δίκης ἔκ τε αὐτοῦ τοῦ Σουχάμμωνος καὶ ἐξ αὐτοῦ τῶν] προσόδων πασῶν καὶ λαμβανέτω ἕκαστος πρὸς ἐπιβολ(ὴν) τῶν μηπ̅ω̅* [33]*[. . . . . καὶ] ποιήσητα[ι ἀπὸ τοῦ] νῦν ὁπότε ἐὰν*

10 und passim *πλατεῖας* Zer.
12 *ὑπο*ʸ Zer.; *ανω*ʸ Wess.
24 *ἀναμε]τροῦντος* Zer.; *πλ]ηροῦντος* Wess.
26 *Ἀφροδίτη — ὄντων* Zer.
29 l. *ἄγουσι*.
32 *λαμβανέτω* Zer.

βούληται ἡ θυγ(άτηρ) Ἀφροδιτοῦς ⟨τὴν⟩ διὰ [34] [τῆς βιβλιοθήκης ἀπογρα-
35 (φὴν)] τοῦ ἐπὶ πλατείας ἡμίσους μ[έρ]ους οἰκίας καὶ αὐλ(ῆς) [35] [μενούσης τῇ μητρὶ Ἀφ]ροδ[ίτῃ] τῆς τοῦ (ἡμίσους) μέρο(υς τῆς οἰκί(ας) καὶ αὐλ(ῆς) οἰκήσεως καὶ καρπείας [36] [. . . . . ἐφ' ὃν περι]εστι χρόνον, τὴν δὲ προκιμένην φερνὴν καὶ τὰ προσενεχθ(έντα) [37] [τῇ ἑαυτῆς θυγατρὶ] Ἀφροδειτοῦτι δεδόσθαι ὑπ' αὐτῆς ἐπὶ τῷ εἶναι αὐτὰ τῆς θυγ(ατρὸς)
τη θυγ
[38] [. . . . .]η ἰσομοιρίας ὧ⟨ν⟩ ἐὰν ἡ μήτηρ ἀπολίπῃ ἁπλῶς πάντων καθ [39] [. . . . . πρ]ὸς ἀλλήλους συνεφώνησαν ∼

34 Anf. erg. Zer. 37 Anf. erg. M.
35 Anf. erg. M.; Ἀφροδ[ίτῃ] Zer.

289. Ehekontrakt. — 190 n. C. — Arsinoë.

CPR 27 ed. Wessely. Nachtr. von Hunt, GGA 1907, 463 und Zereteli nach brieflicher Mitteilung.

Lit.: Mitteis, Reichsrecht 275 fg. (dazu aber oben S. 222/3); Revillout, Précis 2, 1129; de Ruggiero, Bull. 15, 201.

Unter den Nachträgen von Zereteli zu diesem Papyrus muß hier einer hervorgehoben werden, der mir erst nach Drucklegung von S. 63 A. 1 bekannt geworden ist: in l. 32 steht nicht, wie dort nach den bisherigen Lesungen vorausgesetzt wurde, δημ° εξεδο¯ — was ich oben als mir unverständlich bezeichnet habe —, sondern δημ° εξ ευδο¯. Dies ist leichter aufzulösen; denn der Schluß heißt wahrscheinlich ἐξ εὐδο(κούντων), im beiderseitigen Einverständnis. Ob vorher δημο(σιωθέν) (= registriert) zu lesen ist, bleibt mir zweifelhaft, denn eine Homologie, wie es das Stück ist, ist sonst Gegenstand der ἀναγραφή. Die δημοσίωσις in Oxy. 906, 8 fg. (S. 86, 126) kann nicht als Parallele herangezogen werden: denn diese ist durch das καταλογεῖον in Alexandrien erfolgt, wovon hier keine Spur ist.

[1] [Ἔτους τριαντοστοῦ Αὐ]τοκράτορ[ο]ς Καίσαρος Μ[άρ]κου Αὐρηλίου Κομμόδου Ἀντ[ων]είνου Εὐσεβοῦς [2] [Εὐτυχοῦς Σεβαστοῦ Ἀρμενιακοῦ Μ]ηδικοῦ Πα[ρθικ]οῦ Σαρματικοῦ Γερμανικοῦ Μεγίσ[του] Βρεταννικοῦ μηνὸς [3] [Ἀρτεμισίου Φαμενὼθ . . . ἐν Πτολε]μαΐδι Εὐε[ργέ]τιδι τοῦ Ἀρσινοείτου νομοῦ. Ὁμολογεῖ Ἰσίδ[ωρος] ἐκ τοῦ νοτίου [4] [. . . . . ἀναγραφόμενος ἐπ' ἀμ]φ[ό]δου Μ[οήρ]εως ὡς [ἐτῶν] εἴκοσι δύο ἄσημος Πασί[ωνι τῷ] καὶ
5 Ἰσιδώρῳ Μάρωνος [5] . . . . . ὡς ἐτῶν [. . . . κον]τα δύο [ἀσή]μῳ ἔχειν τὸν Ἰσίδωρον παρὰ τοῦ Π[ασίωνος] τοῦ καὶ Ἰσιδώρου [6] [ἐπὶ τῇ ἐπιτροπευομένῃ αὐτοῦ Θαισ]αρίῳ [Ἡρ]ακλείδου παρ[θ]ένῳ οὔσῃ συνερχομ[ένῃ αὐτ]ῷ πρὸς γάμον φερ[7][νὴν χρυσ]οῦ μνα[ιαῖα τρία ἐν κ]οσμαρ[ίοις] καὶ ἱμάτια ἐν συντειμήσι δραχμῶν τρ[ι]ακοσίων ἅ ἐστιν σου[8][δάριον ἐ]ξοδιακὸν (?) [καὶ . . . .]μινος ἡμιτριβής, ἕτερος σμαράγδινος, σου[βρ]ικ[οπάλ]λιον μόρινον ἡμι[9][τριβές, ἀβόλλ]ης λευκὸς καὶ ἐ[ν τοῖς παραφ]έρνοις κιτὼν κροκώ[τι-]
10 νος, παλλίολον γλοῖ[ον ἐπ]ικάρσιον καὶ χαλκᾶ [10] [Ἀφρο]δείτην, ἔσοπτρον

δίπτυχον δίφρον στάμνον [σ]κάφιον καὶ ξύλινα [ἐπιθή]κην τῆς Ἀφροδεί- [11] *[της . . .]μην σκρήνιον κάθεδραν σὺν ὑποποδίῳ. Συμβιούτωσαν οὖν ἀλλήλοις οἱ γαμοῦντες ὅ τε Ἰσί* [12] *[δωρος καὶ ἡ] Θαισάριον ἀμέμπτως τοῦ Ἰσιδώρου [ἐ]πιχορηγοῦ[ντος] αὐτῇ τὰ δέοντα πάντα καὶ τὸν ἱματισμὸν καὶ τὰ ἄλ* [13] *[λα ὅσα καθήκ]ει γυναικὶ γαμετῇ κατὰ δύναμιν τοῦ [βίου κ]αὶ αὐτῆς δὲ τῆς Θαισαρίου ἄμεμπτον καὶ ἀκατηγόρη* [14] *[τον ἑαυτὴν παρ]εχομένην ἐν τῇ συμβιώσει, ἐφ' ᾧ [ἀποκαρπί]ζεσ[θα]ι τὸν Ἰσίδωρον ἐφ' ὃν χρόνον μένει αὐτοῖς* [15] *[ἡ πρὸς ἀλλή]λους συμβίωσις τὸ ὑπάρχον τῇ Θα[ι-σαρίῳ] περὶ [κώ]μην Σεβέννυτον τέταρτον μέρος κοινὸν καὶ* [16] *[ἀδιαίρετον . . . .] φοινικῶνος ἀρουρῶν δέκα ὀκτώ· ἐὰν δὲ διαφορᾶς αὐτοῖς γενομένης χωρισθῶνται ἀπ' ἀλ[λήλων]* [17] *[οἱ γαμοῦντες, ἀπ]οδότω ὁ Ἰσίδωρος τὴν προκειμένην φερνὴν [τ]ὸ μὲν χρυσίον ἐν τοῖς [αὐ]τοῖς κοσμαρίοις καὶ ἴση ὀλ* [18] *[κῇ καὶ τὰ ἱμ]άτ[ι]α ἐν τῇ ἴσῃ συντειμήσει ἐγλογ[ῆς] αὐτῇ οὔσης ἤτοι τὰ ἱμάτια λαμβάνειν καὶ τὸ ἅπ[αν ἐ]νεχθὲν ⟨⟨ν⟩⟩ ἐπὶ* [19] *[τὸν γάμον ἢ τὴν ἴση]ν συντείμησιν ἐπὶ μὲν τῆς ἀποπομπῆς παραχρῆμα, ἐπὶ δὲ τῆς ἑκουσίου ἀπαλλ[αγῆς ἐν ἡ]μέραις* [20] *[τριάκοντα ἀφ'] ἧς ἐὰν ἀπαιτηθῇ, τὰ δὲ παράφερνα παραχρῆμα ὁποῖα ἐὰν ἐγβῇ ἐκ τῆς τρέψ[εως] καὶ κατα* [21] *[διαιρείσθω] ἡ πρόσοδος τοῦ φο[ινι]κῶνος εἰς τὴν τοῦ ἔ[τ]ους τοῦ χωρισμ[οῦ] δωδεκάμηνον καὶ λήμψεται* [22] *[τὸ ἐπιβάλ]λον ὧν ἐὰν φανῇ μεμενηκυεῖα παρ' αὐτῷ μηνῶν γεινομένης τῇ Θαισαρίῳ τῆς πρά-* [23] *[ξεως τῆς τε] φερνῆς καὶ παραφέρνων ἔκ τε τοῦ Ἰσιδώρου καὶ [ἐκ] τῶν ὑπαρχόντων αὐτῷ πάντων καθάπερ ἐγ δίκ* [24] *[ης* (2te H.) *Ἰσίδωρος . . . .] ἔχω παρὰ τοῦ Πασίωνος τοῦ κα(ὶ) Ἰσιδώρου ἐπὶ τῇ ἐπιτροπευομένῃ [αὐτοῦ]* [25] *[Θαισαρίῳ π]αρθένῳ οὔσῃ συνερχομένης μοι πρὸς γάμον φερνὴν διὰ χειρὸς χρυ[σοῦ]* [26] *[δοκιμίου μ]ναιαῖα [τρ]ία ἐν κοσμαρίοις κα(ὶ) ἱμάτια ἐν συντειμήσει δραχμῶν [τριακοσί]ων* [27] *[καὶ τὰ προκείμεν]α παράφερνα ἐφ' ᾧ καὶ καρπίζεσθαί με εἰς τὸν κοινὸν ἡμῶν [οἶκον τ]ὸ ὑπά[ρ-χον* [28] *σοι π]ερὶ κώμην Σεβέννυτον τέταρτον μέρος φοινικῶνος ἀ[ρουρῶν δέκα ὀκτὼ]* [29] *[γενομένου δὲ χωρισ]μοῦ ἀποδώσω καθὼς πρόκειται.* (3te H.) *Πασίων ὁ [καὶ Ἰσίδωρος]* [30] *. . Ἰσιδώρῳ τὴν ἐπιτροπευομένην ἐμοῦ Θαισάρ[ιον . . . .]* [31] *. . . προκειμένοις.* [32] *Κατεχω(ρίσθη) Φαῶ(φι) λ δημ° ἐξ εὐδο‾.*

14 l. *παρεχομένης*.
22 Man beachte die an das römische Recht erinnernde Teilung der Früchte des letzten Dotaljahres.
25 l. *συνερχομένῃ*.
Zu l. 32 s. die Einleitung.

290. Ehekontrakt. — 6. Jahrh. n. C. — Faijûm.

CPR 30 ed. Wessely.

Lit.: Mitteis, CPR 1 S. 148 A.; Meynial, Nouv. Rev. hist. 20, 523; Revillout, Précis 2, 1146; de Ruggiero, Bull. 15, 242 fg.

Der Papyrus besteht aus zwei nicht unmittelbar aneinander schließenden Fragmenten. Das zweite Fragment unterscheidet zwischen dem vom Bräu-

tigam der Braut gegebenen ἀρραβών (l. 5), d. i. arrha sponsalicia, Tit. C. J. 5, 1 und dem ἰσόπροικον, d. i. der (nach Nov. Just. 97 im gleichen Betrag wie die Mitgift an die Braut zu spendenden) Donatio propter nuptias; die Arrha bildet ein reines lucrum (κέρδος) der Frau, was von der Mitgift nicht gesagt wird und werden konnte (Reichsrecht 268. 301. 309 fg.). — Das δωρύφιον in l. 7 (erg. von mir) findet sich auch in einem Petersburger Papyrus, dessen noch unpublizierte Transkription Rostowzew mich freundlichst einsehen ließ, ist aber dort eine Gabe des Brautvaters an die Braut; was es hier bedeutet, weiß ich nicht.

I. Erstes Bruchstück.

[1] [Ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ καὶ Σωτῆρος καὶ δεσπότου τῶν ἡμετέρων] [2] ἡγουμένων τῶν λαλουμένων τε καὶ πραττομένων καὶ τῆς [3] δεσποίνης ἡμῶν τῆς θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ τοῦ ἁγίου [4] [Ἰωάννου] τοῦ προδρόμου καὶ [βαπτι]στοῦ καὶ 5 τοῦ ἁγίου Ἰωάννου [5] τοῦ εὐλόγου καὶ εὐαγγελίστου καὶ παντὸς τοῦ χόρου τῶν ἁγίων τε [6] καὶ ἀθλοφόρων μαρτύρων τὰ παρόντα γαμικὰ καὶ προικῷα [7] συμβόλαια πι[..... ὁμολογοῦν]ται καὶ ποιοῦ[νται ...

II. Zweites Bruchstück.

[1] ... ὑπ]έρ τε χρυσοῦ κοσμα⟨ρ⟩ίων καὶ ἱματίων ... [ ] [2] ... σφραγῖδι τοῦ Ἀρσινοίτου γί(νεται) χρ(υσοῦ) ζυγ[ῷ ...] [3] .... τες τῶν .... ερ εξ οπ ... [4] ... μαυραν μίαν .... 5 τοὔνομα ἐχ ... [ ] [5] καὶ Μέγας ὁ λαμπρό(τατος) ἐντεῦθεν ἤδη ἡμῖν ὑπὲρ μὲν ἀρραβῶνος χ[ρυσοῦ] [6] νομίσματα δέκα τέσσαρα ῥυπαρὰ γι/ χρ/ ν̊ ιδ ρ̄/ μ̊// κέρδ[ος] [7] ... τῆς κόρης ... ὑπὲρ δωρυφ[ίου] [8] .... α ... ι/ φ/ ι ... [ ] [9] κέρδος ἐσόμενα Χριστοδότῃ τῇ σὺν θεῷ γενομένῃ 10 αὐτο[ῦ] [10] συμβίῳ ἔτι μὴν ὁμολογεῖ προσενεγκεῖν τὸ ἰσόπροικο[ν] [11] τῶν προσενεχθέντων παρὰ τῆς αὐτῆς μητρὸς Καλῆς νομ[ισματίων?] [12] ἑκατὸν ἐν πράγμασιν. Τούτων τοίνυν δοξάντω[ν] [13] καὶ ἑκατέρῳ μέρει συναρεσθέντων ἐπὶ τὸ παρὸν ἦλθον γα[μικὸν] [14] καὶ πρωικῷον συνάλλαγμα, 15 δι' οὗ ὁμολογεῖ ὁ μὲν προρηθεὶς [15] λαμπρό(τατος) Μέγας ἔχειν τὴν αὐτὴν θυγατέρα παρθένον [16] τῆς αὐτῆς Καλῆς ἰδίαν καὶ νομίμην γυναῖκα κ[αὶ] [17] ..... εια κατὰ τὰς δυνάμεις καὶ ..... [ ] [18] εἰς αὐτὴν διαπράξασθαι,

I 7 Die Anfangsklammer zu ὁμολογοῦν]ται fehlt in der Ausgabe. Jedenfalls aber muß πι noch zu sehen sein, denn auf Konjektur kann es nicht beruhen.

II 1 Diese wegen der Defekte schwierige Stelle übersetzt der Hg.: (Die Mitgift ist) für die Ausstattung in Goldschmucksachen und Kleidern 100 Goldstücke (cf. l. 11/2) mit der Marke und nach dem Gewichte von Arsinoë.

7 δωρυφ[ίου] (Wess. δωρυφ ...) erg. von M., womit die Vorschläge von de Ruggiero a. O. entfallen. Den Wortrest [....]φαιον in Oxy, 282, 24 wird man dagegen nicht zu [δωρύ]φαιον ergänzen dürfen, einerseits weil dann .]φειον stehen müßte und mehr noch, weil dort ein konkreter Gegenstand gemeint zu sein scheint.

12 Verbinde ἐν πράγμασιν mit προσενεγκεῖν τὸ ἰσόπροικον? (so auch die Übersetzung Wesselys).

14 l. προικῷον.

ἀλλὰ πάντα τὰ πρέποντα ἐλευθέραις [19] *γυναιξὶν παρὰ ἀνδράσι σεμνοῖς ἐνδείξασθαι εἰς αὐτὴν* [20] *πρὸς τῷ καὶ αὐτὴν ἀγαπᾶν καὶ θάλπειν καὶ* 20 *θεραπεύειν αὐτὸν* [21] *Μέγαν τὸν λαμπρότατον αὐτῆς σὺν θεῷ ἐσόμενον σύμβ[ιον]* [22] *ὑπακούειν δὲ αὐτῷ καθὰ τῷ νόμῳ καὶ τῇ ἀκολουθίᾳ συμβαίνει·* [23] *οἱ δὲ ὡς εἰκὸς συμβησόμενοι κάσοι διαβεβαιωθήσονται* [24] *πρὸς τὰ δοκοῦντα τοῖς καλῶς καὶ εὐσεβῶς κει⟨⟨νο⟩⟩μένοις* [25] *νόμοις, καὶ ὅτι πάντα* 25 *τὰ προγεγραμμένα οὕτως δώσωσι κ[αὶ]* [26] *ποιήσωσιν πληρώσωσιν φυλάξωσιν πέρατι παραδώσωσι[ν,]* [27] *ἐπωμόσατο ἑκάτερον μέρος τὴν ἄχραντον καὶ ὁμοού[σιον]* [28] *τριάδα. Κύρια τὰ παρόντα γαμικὰ καὶ προικῷα συμβόλαια δισσὰ* [29] *ὁμοτύπως γραφέντα ὑποθέμενοι ἀλλήλοις ἐπὶ βεβαιώσει* [30] *αὐτῶν* 30 *πάντα αὐτῶν τὰ ἄλλα ὑπάρχοντα καὶ ὑπάρξοντα τά τε ν[ῦν]* [31] *καὶ μετὰ ταῦτα ἐσόμενα ἰδικῶς καὶ γενικῶς ἐνεχύρου* [32] *λόγῳ καὶ ὑποθήκης δικαίῳ καθάπερ ἐκ δίκης καὶ ἐν τούτοι[ς]* [33] *καὶ ἐφ' ἅπασιν τοῖς προγεγραμμένοις ἐπερωτηθεὶς* [34] *ἑκάτερον μέρος ὡμολόγησεν καὶ ἀπέλυσεν. Ἀμφότερα* [35] *τὰ* 35 *μέρη ἔσχον ἀνὰ ἕνα χάρτην πρὸς οἰκεῖαν ἀσφάλειαν* † Folgen die Unterschriften des Ehemanns, der Brautmutter, zweier Zeugen und des Notars.

23 Sinn: In den Fällen (*κάσοι*) von Tod usf. gelten die gesetzlichen Normen.
33 l. *ἐπερωτηθὲν*.
34 Zu *ἀπέλυσεν* vgl. Brunner, R.gesch. der Urk. S. 74.
35 *ἀνὰ* = je.

4. EHESCHEIDUNG.

291. Psephisma der Stadt Ptolemais über die Ehescheidung. — 1. Jahrh. v. C. (?) — Ptolemais.

P. Fay. 22 ed. Grenfell-Hunt. Nachtr. von Schubart, Arch. 5, 76; Plaumann, Ptolemais 13.

Lit.: v. Wilamowitz, GGA 1901 p. 36; Nietzold 35 fg.; Plaumann a. O.

Daß es sich um ein Gesetz der Stadt Ptolemais handelt, ist zuerst von Schubart erkannt worden; die Hgg. bezogen den Wortrest *Πτολεμα[ι* . . in l. 1 auf einen ptolemäischen König.

[Ἔδο]ξεν Πτολεμα[ιέων τῇ βουλῇ καὶ τῷ δήμῳ ἀποπέμ-]
[πεσ]θαι καὶ ἀπολείπε[ιν]
[ἀπο]γραφέσθωι πρ[ὸς τοὺς θεσμοφύλακας?]
[αὐτο]ῦ τὸ ὄνομα καὶ τ[οῦ πατρὸς
5 *[τὸ]ν μῆνα καὶ τὴν ἡμέρ[αν ἀπογρα-]*
φέσθωι δὲ καὶ ἡ γ[υ]νὴι [κατὰ]
ταὐτὰ δὲ καὶ ὁ πατὴρ ἐ[ὰν περιῇ οἱ δὲ]
ἱεροθύται καταβαλέτ[ωσαν τὰς ἀπογραφὰς . . . . εἰς τὴν κι-]
βοτὸν ἢ ο[ἱ]πόδικοι ἔσ[τωσαν

8/9 l. *κι]βωτόν*.
9 l. *ὑπόδικοι*. — Zum Ende schlägt Schubart vor: *ἀποδειξάτω δὲ ὁ ἀνὴρ] τὴν φερνὴν ἣν ἐὰν [λάβῃ*.

10 τὴν φερνὴν ἣν ἐὰν [
τοῖς θεσμοφύλαξι [παρ' οἷς ἐὰν?]
ἡ ἀπογραφὴι γένητα[ι
ὀφείλῃ κατὰ τὸν νόμ̣[ον ἡμιό-]
λιον καθάπερ ἐγ δίκ[ης
15 φερνῆς κατὰ τὸν ν[όμον
ἀποδείξεως τῶν δο[
φερνὰς μήπω ⟪ε⟫οὔσης α[
δραχμὰς ἢ ἔλασσον διδω[ἐὰν]
δέ τις μὴ ἀποδῶι ⟨τ⟩ῇ γυναι[κὶ ἀποτι-]
20 σάτωι ἐὰν δίκηι νικᾶται κ̣[ἐπὶ δὲ]
κυούσης ἀποπομπῆι ἐὰν κ[
ὁ ἀνὴρ ἀποπέμπηι περιμε̣ν̣[
κατὰ τὰ γενάμενα τρεφέτ̣[ω τὴν γυ-]
ναῖκα τὰ ἐπειτήδεια παρέχῳ̣[ν
25 τῇ μητρὶ παρέχειν ἀναλισκέτω [τὸ παι-]
δίον ἐπειδὰν γένηται ἅπερ τι̣[
ταιδιω παρέχειν τὰ ἐ[πι]τήδια τῇ μητρὶ .[
ὁ̣ῷ̣ς ἐὰν τὸ παιδίον κυμήσητα[ι
ὅτε ἐὰν βούληται, τῇ δὲ γυναι[κὶ

10 Schub. schlägt vor: ἣν ἐὰν [λάβῃ . . . . παρὰ] τοῖς θεσμοφύλαξι

24 l. ἐπιτήδεια, ebenso 27.
28 l. κοιμήσηται oder κομίσηται.

292. Scheidungsakt. — 96 n. C. — Oxyrhynchos.

Oxy. 266 edd. Grenfell-Hunt.
Lit.: Lesquier a. O. 6.

[1] Ἔτους ἑκκαιδ[ε]κάτου Αὐτοκράτορος Καίσαρος Δομιτιανοῦ Σεβαστοῦ [2] Γερμανικοῦ, μη(νὸς) Γε[ρμ]ανικοῦ ἐν Ὀξ(υρύγχων) πόλ(ει) τῆς Θηβαΐδος. [3] Ὁμολογεῖ Θαῆσις Θώνιος τοῦ Ἀμιθώνιος μητρὸ⟨ς⟩ Σινθεῦ[4]τος
5 μετὰ κυρίου τοῦ πατρῴου Ὀννώφρι⟨ο⟩ς Ὀννώφριο[ς] τοῦ Παμ[5]μένους μητρὸς Ταarθώνιος τῷ γενομένῳ αὐτῆς ἀνδρὶ [6] Πετοσαράπι Θομπεκύσιος τοῦ Σαραπίωνος μητρὸ⟨ς⟩ Σινθώ[7]νιος, πάντες ἀπ' Ὀξυρύγχων πόλεως, ἐν ἀγυι[ᾷ̣], ἀπέχειν [8] παρ' αὐτοῦ ἀργυρίου Σεβαστοῦ νομίσματος δραχμὰς τετρα[9]κοσίας κεφαλαίου ἃς προσηνέγκατο αὐτῷ ἐφ' ἑαυτῇ ἐν φερνῇ
10 [10] μ[ε]τ' ἐγγύου [τ]ῆς μητρὸς αὐτοῦ Σινθώνιος Πετοσαράπιος τοῦ [11] [.]βι̣-[. . . .] κα[τὰ συ]νγραφὴν συνοικισίου διὰ τοῦ ἐν Ὀξυρύγχων [12] [πόλει ἀγορανο]μίου ταῖς ἐπαγομ̣έναις τοῦ τεσσαρασκαιδε[13][κάτου ἔτους Αὐ]τοκράτορος Δομιτιανοῦ Σεβαστοῦ [14] [Γερμανικοῦ, ἣ]ς τὴν ἐπίφορον αὐτόθεν
15 ἀναδεδωκέναι αὐτῷ [15] [κεχιασμένην ε]ἰς ἀκύρωσιν ἕνεκα το̣ῦ̣ [ἀν]αζυγὴν τοῦ γάμου [16] [γενέσθαι, καὶ] μὴ ἐγκαλεῖν αὐτῷ μηδὲ ἐγκαλέσειν μηδὲ ἐπε-[17] [λεύσεσθαι μή]τε περὶ τῶν προκειμένων μήδε περὶ παρα[18][φέρνων . . .

. . .]ο ἀπεσχηκέναι μηδὲ περὶ ἄλλου μηδε[19][νὸς πράγματος] μέχρι τῆς ἐνεστώση[ς ἡ]μέρας. Κ[αὶ] αὐτὸς δὲ [20][ὁ Πετοσάραπ]ις ὁμολογεῖ ἐν ἀγυιᾷ 20 [τ]ῇ αὐτῇ μὴ [ἐ]νκαλεῖν [21][μηδὲ ἐνκαλέ]σειν μηδὲ ἐπ[ελεύσεσθ]αι τῇ Θαήσ[ει [22][μηδὲ τοῖς πα]ρ' αὐτῆς π[ε]ρὶ μηδεν[ὸς ἁπλ]ῶς μέχρι [τῆς [23][ἐνεστώσης ἡμέρας . . . .]στ[.]νπρ[. .

. . . .

18 Erg. vielleicht . . . διὰ τ]ὸ ἀπεσχ., anders Lesquier a. O.

293. Scheidungsakt. — 123 n. C. — Tebtynis.

Lips. 27 edd. Mitteis-Wilcken.
Lit.: Lesquier a. O. 7; de Ruggiero, Nuovi doc. 371 fg.

Das in l. 15 vorkommende συνῆρσθαι (τὴν συμβίωσιν) ist nicht von συναίρω (wo die Form συνῆρθαι lauten müßte) abzuleiten, sondern verkürzt aus συνηρῆσθαι (συναιρέω), also „zusammen wegnehmen". Vgl. Wessely, Stud. pal. 1 p. 5 und Festa bei de Ruggiero, Bull. 15, 265 A. 1. — Zweifelhaft bleibt, ob Sosas als Trapezit interveniert, oder als Mitgiftsbürge (so G.-H. zu Oxy. 905 l. 16—18). — Parallelstück: BGU 975.

[1]Ἔτους ἑβδόμου Αὐτοκρά[τορος Κ]αίσαρος [2]Τραιανοῦ Ἁδριανοῦ Σεβα[στοῦ Φα]μενὼθ [3]κα ἐν Τεβτύνι τῆς Πολέμω[νος] μ[ερ]ίδος τοῦ Ἀρσι-[4]νοείτου [νο]μοῦ. Ὁμολογοῦ[σι]ν ἀλλήλοις [5]Θενστοτοήτιος ὡ(ς ἐ)τῶν 5 δ[έ]κα ἓξ [ἄ]σημος [6]μετὰ κυρίου τοῦ πατρὸς Ἥρωνος τοῦ Νείλου [7]ὡ(ς ἐ)τῶν τεσσαράκοντα τεσσάρων οὐλὴ [8]δακτύλῳ μικρῶ χιρὸς ἀριστερᾶ[ς κ]αὶ αὐτὸς [9]Ἥρων καὶ ὁ γενάμενος τῆς [Θ]ενστοτοήτιο[ς] [10]ἀνὴρ Λ[υσ]ᾶς 10 ἀπελεύθερος Ἡρακλείας τῆς [11]Λυσιμ[άχου] ὡ(ς ἐ)τῶν εἴκοσι δύο οὐλὴ γόνατ[ι] [12]δεξιῷ καὶ Σωσᾶς Ἀρεώ[το]υ ὡ(ς ἐ)τῶν πεντήκον[13]τα τεσσάρων οὐλὴ ἀντικνημίῳ δεξιῷ, [14]οἱ τέσσαρες, Θενστοτοήτιος μὲν καὶ Λυσᾶς [15]συνῆρσθαι τὴν πρὸς ἀλλήλους [συν]βίωσιν, [16]ἥτις αὐτοῖς συνεστήκι ἀπὸ 15 συνγραφῆς ὁμολ(ογίας) [17]γάμου τε[λει]ωθῖ[σ]αν διὰ τοῦ αὐτοῦ γραφίου τῷ [18]πέμπ[τῳ ἔτε]ι Ἁδριανοῦ Καίσαρος τοῦ Κυρίου [19]Ἀθ[ὺ]ρ [-] [ἣν] καὶ ἀναδεδωκέν[α]ι . [. . .] εἰς [20]ἀθέτησιν καὶ ἀκύρωσιν, Ἥρω[ν] δὲ ἀπέχιν 20 [21]παρὰ τοῦ Σωσᾶ τὰς διὰ τ[ῆ]ς συνγραφῆς [22]φερνῆς [ἀ]ρ[γ]υρίου δραχμὰς τρι[ακο]σίας κ[αὶ τὰ πα][23]ράφερ[ν]α πάντα καὶ ἐξῖναι ἑκατ[έ]ρῳ [κατὰ] [24]τὰ καθ[ήκον]τα οἰκονομῖν περὶ αὐτῶ[ν ὡ]ς [25]ἐὰν ἐρῆται, τῇ δὲ Θε[ν- 25 σ]τοτοήτι ἐξαῦτις [συν][26]αρμόζ[εσθαι ᾧ] ἐὰν [βού]ληται ἀνδρεὶ ἀγε- (?) [27]φαπτ . τω[. . . . .] . . . . [. .]α καὶ μὴ ἐπε[28]λεύσασθαι ἐ[π]' ἀλλήλους [περ]ὶ μ[η]τε[νὸ]ς τ[ῶν] [29]τῇ συνβιώ[σι] ἀνηκ[ό]ν[τω]ν μηδενὸς ἁπαξ[30]απλῶς 30 [πρά]γματος μ[έ]χ[ρι] τῆ[ς] ἐνεστώσης [31]ἡμέρας. [Ὑπογρα(φεὺς) (2te H.)] . αρεψῆμις Παφ . [. ὡ(ς)] (ἐτῶν) μη ο(ὐλὴ) ῥινεί. [32](3te H.) Λυσᾶς ἀπελεύθερος Ἡρακλείας [καὶ] Σωσᾶς [33]Ἀρεώτου[. . .] . . α . δ(‾) συνῆρσθαι τὴν

5 l. Θενστοτοήτις.
8 l. μικρῷ.
17 l. τελειωθείσης.
28 l. ἐπελεύσεσθαι.

35 πρὸ[ς] [34]τὴν Θ[ε]νστ⟨οτ⟩ουῆτιν⟨ν⟩ συνβίω[σ]ι⟨ν⟩ κ[α]ὶ μὴ ⟪ἐπ⟫ [35]ἐπελεύσασθαι ἐπ' ἀλλήλους ἁπ̣α̣[ξ]απ[λῶ]ς. [36]Ἔγραψεν ὑπὲρ αὐτῶν [. αρ]ε̣ψῆ[μις Παω] . . [ὁ πρ]οκίμ(ενος) [37]μὴ εἰδ[ό]τ(ων) γρ[άμμα]τ[α. (4[te] H.) Θενστοτο]ῆτις με[38]τὰ κυρίου τοῦ πατρ[ὸς Ἥρ]ω[νος σ]υνῆρσ̣με [39]τὴν συν-
40 βίωσι⟨ν⟩ καὶ ἀπέχω τὴν [φε]ρνήν. Ἥρ[ων] [40]ἔγραψα ὑπὲ[ρ αὐ]τ(ῆς) δ̣ι̣ὰ̣ [τὸ] μ[ὴ εἰ]δ(έναι) γρ[ά(μματα)]. . . . . .η(. .)

294. Scheidungsakt. — Etwa Zeit des Antoninus Pius. — Faijûm.

CPR 23 ed. Wessely. Nachtr. von Hunt, GGA 1897; Zereteli in Comment. Nikitinianae 1901, 61 fg.

Lit.: Mitteis, Reichsrecht 282 (dazu aber oben S. 223 A. 1); Wessely, Stud. 1 p. 5; Grenfell-Hunt, Introd. zu Oxy. 266; Lesquier a. O. 8 fg.; Zereteli a. O.

Über die Bedeutung, die man dieser Urkunde ursprünglich zugeschrieben hat, s. oben S. 223 A. 1. Der Ehekontrakt, welcher durch unsere Scheidungsurkunde aufgehoben wird, ist in CPR 22 erhalten.

Reste von 2 Zeilen.

[1]. . . .] . . τ̣η̣ν̣[. .]υ . . [. . . . . . ἀπέ]χειν̣ παρ' αὐτοῦ κ[ατὰ τὸ δίκαιον] [2][τῆσδε τ]ῆς ὁμολογί[ας] φ[ερνὴ]ν χρ[υσίου] δοκειμείου μνα[ιεῖα δώδεκα ἐν] [3][τοῖς διὰ (?) τῆς] συνγραφῆ[ς κοσμ]αρίοις καὶ τὰ δι' αὐτῆς ἱμά[τια . . . .] [4][. . . . . . .]ς αὐτῶν [. . . . . . τὴν] συντείμησιν τῶν δραχμ[ῶν
5 ὀκτακοσίων] [5][καὶ τὰ αὐτ]ῆς παράφε[ρνα] πάντα καὶ ἀνακεκομίσ[θαι πάντα τὰ] [6][προσενεχ]θέντα αὐτῇ [ὑπὸ] τῆς αὐτῆς μ[ητρὸ]ς ὑπ[ά]ρ[χοντα] . . . . . [7][. . .]της νι . [.] . ει [. καὶ τὸ]ν Σύ[ρο]ν ἀπεσχηκέν[αι τὸ αἱρ]οῦν τῶν [8][προσόδων] αὐτῶν, ὧν [μεμένη]κεν παρ' αὐτῷ ἡ Σύρα ἡ καὶ Ἰσ[άριον] μ̣η[ν]ῶ̣ν [9][καὶ μὴ ἐ]πελεύσασθ[αι] ἐπ' ἀλλήλους μηδὲ ἑκ[ά]τερ[ον αὐ]τῶν
10 μηδὲ [10][τοὺς παρ'] αὐτῶν μηδὲ περὶ [τ]ῶν [τ]ῇ συμβιώσει ἀνηκό[ντων] μ̣ηδὲ περὶ ὧν [11][ἐπεγράφ]η αὐτῆς ὁ̣ Σύρο̣ς κύριος ἐν τοῖς τῆς συμβιώσεως [χρόνοις] καθ' ὁντινοῦν [12][τρόπον διὰ τ]ὸ πάντα αὐτὴν ἀπεσχηκέναι μηδὲ περὶ τῶν προκειμένω[ν εἰδ]ῶν μηδὲ περὶ [13][ἄλλου μηδε]νὸς ἁπλῶς τῷ καθ[ό]λου ἐνγράφου μηδ' ἀγράφου μέχρι [τῆς ἐ]νε[στ]ώ[σ]ης [14][ἡμέρας πα]ρευρέσι μηδε[μ]ιᾷ̣. Τὰ διομολογημένα κύρια ἔστω κα[θὼς
15 συνεχώρησα]ν. [15](2[te] H.) [Σύρα ἡ κ]αὶ Ἰσάριον [Ἀφρ]οδεισίου συνῆρμαι τὴν πρ[ὸς τὸν Σύρον] [16][συμβίωσι]ν καὶ ἀπέχω [τὴν] φρενὴν τὰ τοῦ χρυσίου μν[αιεῖα] δ[ώδε]κα [17][κ]α[ὶ] τὰ [ἱμ]άτια ἐν σο[ιντειμή]σι δρα⟨χ⟩μῶν ὀ[κτ]ακοσίων κα[ὶ παρ]άφερ[ν]α [18][πάντα κα]ὶ ἀνακεκόμισμαι τὰ προ[σ]ενε[χθ]έντ[α] μοι οἱπὸ τῆς [19][μ]ητ[ρ]ός μοι οἱπάρ[χον]τα καὶ οἱ ⟨ἐ⟩πελεύ-
20 σομαι ἐπ' αὐτὸν περὶ οἰδε[20]ενὸς μέλος οἰδὲ πε[ρὶ ὧ]ν ἐπεγράφη μου κοίριος [ἐ]ν τοῖς τῆς [21]συμβιόσεος χρόν[ο]ι[ς καθ' ὁ]ντιν[ο]ῦν̣ τρόπον καθὼ[ς πρόκι]τ[αι]. (3[te] H.) [Σ]ύρος [22]Δίο[υ] σ[υν]ῆρμαι τὴν [συνβίωσι]ν [κ]αὶ

11 Erteilung der Decharge betr. die Führung der Geschlechtsvormundschaft.
15/6 Zu συνῆρμαι s. **293** Einl.; l. φερνήν.
18 l. ὑπό statt οἱπό.
20 l. μέρους f μέλος.
21 l. οὐ statt οἱ, οὐδενός st. οἰδ. usf.

ἀπέσχον τὸ αἱροῦν τὸ [τῶν προσό]δων, ὧν [23] [με]μέν[ηκε] παρ' ἐμοὶ [μ]η-ν[ῶν κ]αὶ οὐκ [ἐπελεύσο]μαι π[ερὶ ἄλλου οὐδεν]ὸς [24] κ[αθὼς] πρόκειται. [25] Ἀν . [. .] 25

295. Scheidungsakt. — 305/6 n. C. — Große Oase.

P. Grenf. 2, 76 edd. Grenfell-Hunt. Nachtr. von Crönert, Stud. pal. 4, 89; Naber, Arch. 3, 19/20; Wilcken, Arch. 3, 125.

Lit.: Revillout, Précis 2, 1146; de Ruggiero, Bull. 15, 261; Frese a. O. 48; Lesquier a. O. 21; Naber a. O.

Der Stil der Urkunde ist schlecht. Er ist chirographarisch; da aber beide Teile das Wort ergreifen, sollte in l. 3 *ἀλλήλοις χαίρειν* stehen; ebenso darauf *ὁμολογοῦμεν ἀλλήλοις* (vgl. l. 16: *ἀλλήλους*) usf.

Über das in der Urkunde erwähnte *ἕδνον* s. S. 225.

[1] . . . . ς Σοῦλις νεκροτάφος τοπαρχίας Κύσε[ως] [2] Σεμψάϊς θυ-γατρὸς Ψάϊτος ἐκ μητρὸς Τεοῦς νεκροτάφις [3] ἀπὸ τῆς αὐτῆς χαίρειν. Ἐπὶ ἔκ τινος πονηροῦ δαίμο-[4]νος συνέβη αὐτοὺς ἀπεξεῦχθαι ἀλλήλων τὴν κοι-[5]νὴν αὐτῶν συνβίωσιν, ἐντεῦθεν ὁμολογῶ [6] ὁ μὲν ὁ προκείμενος Σοῦλ', 5 πεπληρωμένος πάν-[7]των τῶν παραδοθέντων αὐτῇ [π]αρ' [ἐμοῦ οἱῳδή]-[8]ποτε τρόπῳ εἰδῶν, ἀποπέμπεσθαι αὐτὴ[ν καὶ μη]-[9]κέτι μετελεύσεσθαι μήδε περὶ συμβιώ[σεως μή]-[10]τε περὶ ἕδ̣ν̣ου, ἀλλ' ἐξεῖναι αὐτῇ ἀποστῆ[ναι καὶ] [11] γα- 10 μηθῆναι ᾧ ἐὰν βουληθῇ· ἡ δὲ προκειμ[ένη Σεν]-[12]ψάις πεπληρῶσθαι παρ' αὐτοῦ τοῦ προκει[μένου] [13] Σοῦλ' πάντων τῶν ἐπιδοθέντων αὐ[τῷ εἰς λό-] [14] γον πρ[οι]κὸς ἅμ̣α̣ [κ]ε̣ ἄ̣λ̣λ̣ω̣ν̣ [τιν]ῶν ὄ̣[ντων] [15] αὐτῆς σκευῶν ⟪καὶ 15 ἄλλῳ⟫ οἱῳδήποτε τ[ρόπῳ]· [16] καὶ μὴ μετελεύσεσθαι ἀλλήλους [ἐντεῦ]-[17]θεν περὶ μηδενὸς ἁπαξαπλῶς ἐ[γγράφου ἢ] [18] ἀγράφου παντὸς πράγματος τὸ σύ[νολον] [19] διὰ τὸ τελείαν ἀποζυγήν. Ἡ ἀπο[ζυγὴ ἥδε] [20] δισσὴ γραφεῖσα 20 ἐφ' ὑπογραφῆς κ[υρία] [21] ἔστω καὶ βεβαία ὡς ἐν δημοσί[ῳ κατακει]-[22]μένη, καὶ ἐπερωτηθεὶς ὡμολ[όγησα.] [23] (Ἔτους) ιδ καὶ (ἔτους) β [τ]ῶν κυρίων ἡ[μῶν] [Κωνστ]α̣[ντίου] καὶ Μαξι[μια]-[25][νοῦ Αὐγούστων 25

2 l. *Σενψάϊτι θυγατρί.* — *νεκροτάφης.*
3 l. *ἐπεί.* — Zu *ἔκ τινος πον. δαίμ.* vgl. Flor. 93, 16; Lips. 34, 8.
9 l. *μήτε.*
15 ⟪*καὶ ἄλλῳ*⟫ Dittographie nach l. 14.
19 l. *τελείαν* ⟨*εἶναι τὴν*⟩ *ἀποζυγήν.*

296. Libellus repudii, vom Schwiegervater dem Schwiegersohn durch den Defensor civitatis zugestellt. — 6. Jahrh. n. C. — Oxyrhynchos.

Oxy. 1, 129 edd. Grenfell-Hunt.

Lit.: Mitteis, Hermes 34, 105.

[1] . [. . . . .] . . [. .] ἰνδ(ικτίονος) ἑνδεκ[ά]της. Τὸ παρὸν τῆς δια-λύσεως ῥεπούδιον διαπέμπομαι [2] ἐγ[ὼ] Ἰωάννης πατὴρ Εὐφημίας τῆς ἐμῆς ὑπεξουσίου θυγατρὸς σοὶ Φοιβάμμωνι τῷ εὐδοκ(ιμω)τ(άτῳ) μου [3] γαμβρῷ, διὰ Ἀναστασίου τοῦ λαμπρο(τάτου) ἐκδίκου ταύτης τῆς Ὀξυρυγχιτῶν πό-λε(ως), περιέχων [4] ὡς ὑποτέτακται. Ἐπειδὴ εἰς ἀκοὰς ἐμὰς ἦλθεν ὅτι εἰς

3 l. *περιέχον.*

5 ἔκθεσμα πράγματά τινα παρεμβάλλεις [5] ἑαυτόν, ἅπερ οὐδὲ θεῷ οὐδὲ τοῖς ἀνθρώποις ἀρέσκουσιν, καὶ οὐ δέον ἐστὶν ταῦτα ἐγ γράμμασιν [6] ἐντεθῆναι, καλὸν ἡγησάμην τὴν μεταξὺ σοῦ καὶ αὐτῆς τῆς ἐμῆς θυγατρὸς Εὐφημίας διαλυθῆναι [7] συνάφιαν διὰ τὸ ἐμέ, ὡς εἴρηται, ἀκηκοέναι σε παρεμβάλλοντα ἑαυτὸν ἐν τοῖς αὐτοῖς [8] ἀθέσμοις πράγμασιν καὶ βούλεσθαί με εἰρηνικὸν καὶ ἡσύχιον βίον διάξαι τὴν ἐμὴν θυγατέρα. Τούτου οὖν ἕνεκεν 10 τὸ παρὸν τῆς μεταξὺ σοῦ καὶ αὐτῆς τῆς ἐμῆς θυγατρὸς Εὐφημίας [10] συναφίας ῥεπούδιον διαπεμψάμην σοι διὰ τοῦ εἰρημένου λαμπρο(τάτου) ἐκδίκου μεθ' ὑπογραφῆς [11] ἐμῆς, οὗ τὸ ἴσον ἔλαβον ἐνυπόγραφον χειρὶ τοῦ αὐτοῦ λαμπρο(τάτου) ἐκδίκου. Πρὸς οὖν ἀσφάλειαν [12] τῆς αὐτῆς μου θυγατρὸς Εὐφημίας τὸ παρὸν τῆς περιλύσεως ῥεπούδιον [13] διαπεμψάμην σοι γραφὲ(ν) μηνὶ Ἐπεὶφ ια̅ ἰνδ(ικτίονος) ἑνδεκάτης. + (2te H.) + Ἰωάννης πατὴρ Εὐφημίας [14] τῆς ἐμῆς θυγατρὸς ὁ προγεγραμμένος διεπεμψάμην 15 τὸ παρὸν τῆς περιλύσεως ῥεπούδιον [15] σοὶ Φοιβάμμωνι τῷ εὐδοκιμοτάτῳ γαμβρῷ ὡς πρόκ(ειται). +

10 l. διεπεμψάμην, ebenso l. 13.

297. Scheidungsakt. — 569 n. C. — Antinoë.

P. Flor. 93 ed. Vitelli.
Lit.: Costa, Atti dell' ist. Veneto 66 II 107.

Die Ausdrücke für die Scheidung sind in l. 5 fg. gehäuft: ἀποζυγή, διαί⟨ρε⟩σις und ῥεπούδιον stehen nebeneinander.

[1] [.] . . . .

[2] + Βασιλείας καὶ ὑπατείας τοῦ θειοτάτου ἡμῶν δεσπότου Φλα(υίου) Ἰουστίνου τοῦ αἰωνίου [3] Αὐγο(ύστου) Αὐτοκράτορος ἔτους τετάρτου Θὼθ ὀγδόῃ τρίτης ἰνδ(ικτιόνος) ἐν Ἀντι(νόου) πόλει τῇ λαμπρο(τάτῃ). [4] + Ταύτην τίθενται καὶ ποιοῦνται πρὸς ἀλλήλους τὴν αν . . . ἔγγραφον κοινὴν 5 [5] ὁμολογίαν τῆς δισσῆς ὁμοτύπου γραφείσης ἀποζυγῆς καὶ διαι⟨ρέ⟩σεως τούτου [6] τοῦ ῥεπουδίου ἐκ μὲν τοῦ ἑνὸς μέρους Αὐρηλία Ἀμαρεσία θυγάτηρ Προοῦτος [7] τοῦ πραγματευτοῦ ἐκ μητρὸς Φανείας ὁρμωμένη ἀπὸ ταύτης τῆς Καλλιπόλ(εως) Ἀντινοέων [8] ἐκ δὲ θατέρου μέρους Αὐρήλιος Θεόδωρος υἱὸς Γεωργίου ἐκ μητρὸς Νόννας μίσθιος [9] μάγκιψ ὁρμώμενος ἀπὸ τῆς αὐτῆς Ἀντι(νόου) πόλ(εως) ἀλλήλοις τὰ ἐφεξῆς ἐπὶ λέξεως οὕτως· 10 [10] Πρώην συνήφθημεν ἀλλήλοις πρὸς γάμου καὶ βίου κοινωνίαν ἐπὶ χρησταῖς [11] ἐλπίσι καὶ τέκνων γνησίων ἀγαθῇ σπορᾷ οἰόμενοι μετὰ ἀλλήλων ἐκτελέσαι [12] εἰρηνικὸν σεμνὸν συνοικέσιον ἐφ' ὅλον τὸν τῆς ἐξ ἀμφοῖν ζωῆς χρόνον· ἔκ τε [13] τῶν ἐναντίων οὐκ ἴσμεν πόθεν παρὰ προσδοκίαν ἐκ σκαιοῦ πονηροῦ δαίμονος [14] π[ε]πόνθαμεν ἐπεμβρίσαντος ἡμᾶς τοῦ ἀπ'

5 Die Lesung διαι⟨ρέ⟩σεως wird mir von Vitelli auf Nachfrage als sicher bezeichnet; der Vorschlag von Eger zu P. Giss 30 A. 3: διαλύσεως soll mit dem Papyrus unvereinbar sein.

8/9 μίσθιος μάγκιψ = Bäckergeselle.
13 Cf. P. Grenf. 2, 76, 3 (295) ἐπ⟨ε⟩ὶ ἔκ τινος πονηροῦ δαίμονος συνέβη ἡμᾶς ἀπεζεῦχθαι; cf. Lips. 34, 8.

ἀλλήλων χωρισθῆναι· κατὰ τοῦτο [15] *ε̣ἰ̣ς τὸ παρὸν ῥ̣επούδιον ἐληλύθαμεν* 15
τοίνυν ὁμολογοῦντες μηδένα λόγον ἔχειν μήτε ἕξειν [16] *πρὸς ἀλλήλους*
ἀπεντεῦθεν ἤδη τοῦ λοιποῦ περὶ οἱουδήποτε πράγματος ἐγγράφο(υ) ἢ
ἀγράφο̣υ̣ [17] *ἀκρίτο̣υ̣ ἢ κεκριμ[[μ]]ένου μήτε περὶ γάμου συναφείας καὶ τού-*
του ἕδνων καὶ προικῴ̣ων [18] *καὶ ἀναλω[μ]άτων γάμου μήτε μὴν περὶ σκευῶν*
συνεισηνεγμένων ἀλλήλοις παρ' ἀλλήλω(ν) [19] *μ̣ήτε περ̣ὶ̣ ἄ̣λλου τινὸς π̣ώ-*
π̣οτε πράγματος τ̣ὸ̣ σύνολον, ἀλλὰ καὶ π̣α̣ρ̣α̣χωρῶ ἐγὼ ἀπεντ̣ε̣ῦ̣θεν [20] *[ὁ]* 20
π̣ρογεγραμμένος Θεόδωρος τοῖς κοινο[ῖ]ς γενομένοις μετ' ἀλλήλων μέχρι
τῆς δεῦρο [21] *[τέκ]νοις ἅμα [τ]ῷ ἐν γαστρὶ βρέφε̣ι̣ τὴν οἰκητικήν μου οἰκίαν*
μετὰ π̣α̣ν̣τ̣ὸ̣ς αὐτῆς τοῦ δικαίου [22] *[καὶ] τ̣ῶν ἐν αὐτ[ῇ προσ]ηκόντων μοι*
[πρ]αγμάτων παρὲξ τῆς στρώμνης μου καὶ τῶν ἐμῶν [23] *[ἐσ]θημάτων καὶ*
ὁμολογοῦμεν ἐξ[εῖν]αι ἑκατέρῳ μέρει ἡμῶν ἡνίκα ἐ̣ὰν βουληθείη ἑτέρῳ
[24] *γ̣ά̣μ̣ῳ ὁμιλῆσαι ἀ̣κολύτως καὶ ἀνε̣γκλήτως ἐπάναγκες, μὴ δυναμένο̣υ̣ τινὸς*
ἡ̣μῶν καθ' οἷον [25] *δ̣ήποτε τρόπ[ο]ν ἢ χρόνον ἢ τόπον ἐξ [οἱ]ασδήποτε* 25
αἰτίας ἐνάξαι τῷ ἑτέρῳ ἐν δικαστηρίῳ οἵῳ [26] *δ̣ή̣π̣οτε ἢ ἐκ[τὸ]ς δ̣ι̣καστηρίου*
περί τινος πράγματος τὸ σύνολον διὰ τὸ ἡμᾶς ἐντεῦθεν ἤδη [27] *ἐ̣ξηλλάχθαι*
πρὸς ἀλλήλους καὶ διαλελύσθαι ἐντόνως καὶ τελείω̣ς̣ [κ]αὶ εἰ τολμήσει τις
[28] *ἐ̣ξ ἡμῶν ἐνάξαι τῷ ἑτέρῳ παρέξει λ̣ό̣γ̣ῳ προστίμου χρυσοῦ νομίσμ(α)τ(α)*
ἓξ εὔσταθμα μετὰ καὶ τοῦ [29] *α̣ὐ̣τὸν ἄκοντα ἐμμεῖναι πᾶσι τοῖς προγεγραμ-*
μένοις ἐφ' οἷς ἐ⟨πε⟩ρωτηθέντες ὡμολογήσαμεν. +

ANHANG.

ANDERE AUF DAS EHERECHT BEZÜGLICHE PAPYRI.

298. *Ὑπογραφή* zu einem demotischen Ehekontrakt. (?) — 12 v. C. — Tebtynis.

Teb. 386 edd. Grenfell-Hunt.

Lit.: de Ruggiero, Nuovi doc. 179 A. 1; Rabel, Sav. Z. 28, 343; Wilcken, Arch. 5, 240—1; Frese a. O. 43.

Auffällig ist, daß die Mitgift als *δάνειον* geschuldet werden soll. Die Herausgeber nehmen an, daß es sich um Verwandlung von *ἄγραφος* in *ἔγγραφος γάμος* gehandelt hat, wofür jedoch kein Anhaltspunkt vorliegt. Nach de Ruggiero soll dem Mann das (ihm nach gräko-ägyptischem Recht fehlende) Eigentum an der Mitgift verschafft werden. Jedenfalls ist die 30tägige Rückstellungsfrist dieses Darlehens dem Mitgiftsrecht nachgebildet.

Die Übersetzung des demotischen Kontrakts ist von den Hgg. nicht mitgeteilt worden.

11 demotische Zeilen.

[12] *Ἔτους ιη Καίσαρος Παῦνι ιβ, κεχρη(μάτισται)* [13] *διὰ Ἡρώδου συν-*
αλλαγ(ματογράφου) . α̣ . . (   )

[14] (2te H.) *Πακῆμις Πακήμιος τῶν ἀπὸ Εἱερᾶ* [15] *ν τῆς Πολέμων[ο]ς* 15
μερίδος Πέρσης τῆς [16] *ἐπιγονῆς ἔχω τὸ δάνηον παρὰ Ταμεισ̣* [17] *χε̣ . . τῆ[ς*

14 l. Ἱερᾶς.

Σ]οκ[ο]νώπιος τῆς γυναικός μ[ου] [18] φερνὴν σὺν ἱματισμῷ ἀργυρίου δραχ-
20 [19] μὰς εἴκοσι τέσσαρ[α]ς ἃ[ς] καὶ ἀπο[δ]ώσ[ω]. [20] Ἐὰν δὲ χωρισμὸς γένηται ἀπ' [ἀ]λλή[21]λων ἐκτίσω ἐν ἡμέραις τριάκοντα ἀ[22]φ' ἧς ἐάν μοι παρανγίλῃ ἄνευ πάσῃ[ς] [23] ὑπερθέσεως καὶ εὑρησολογία⟨ς⟩ καθότι [24] προγέγραπται,
25 καὶ τέθιμαι τὴν συν[25]γραφὴν κυρίαν παρὰ Πτολεμαίῳ. Ἔ[26]γραψεν ὑπὲρ αὐτοῦ Ἱππ[ίας? Ἱ]ππ[ίου] [27] ἀξιω[θε]ὶς διὰ τὸ φάσκιν [α]ὐτὸν μὴ ἐπί-
[28] [στασθαι γ]ρ[ά]μματα.

Auf dem Verso Reste einer Aufschrift.

23 l. εὑρεσιλογίας.


24—25 Über diese Wendung s. Arch. 5, 241; τέθιμαι sqq. ist Übertragung aus dem Gebrauch bei Syngraphophylax-Urkunden.

Verso: vielleicht συγγρ]α[φὴ] δ[ανείου Ταμεισχε ... καὶ ἀνδ]ρὸς Πακήμ[ιο]ς? M.


299. Ausgleich über eine rückerstattete Mitgift und einen Erbteil. — 58 n. C. — Oxyrhynchos.

Oxy. 268 edd. Grenfell-Hunt. Nachtr. von Schubart, Arch. 5, 54 A. 2.
Lit.: Mitteis, Arch. 1, 350; Revillout, Précis 2, 1143 A.; Schubart, Arch. 5, 69 A. 2.

Der vorliegende Vertrag ist nicht ganz durchsichtig, zumal das Verwandtschaftsverhältnis der Beteiligten schon infolge eines in l. 8 unverkennbar vorhandenen (s. G.-H. ad h. l.) Schreibfehlers nur unsicher festzustellen ist. Es fragt sich, ob der Ἀμμώνιος τοῦ Διονυσίου (l. 2), dessen Tochter die Ammonarion ist, mit Ammonios, dem Vater des Antiphanes II, identisch ist. In diesem Fall wäre die Verwandtschaftstabelle unter Berücksichtigung des teilweise verwandten Oxy. 260 etwa so zu rekonstruieren.



Andernfalls wäre die Verwandtschaft etwa[1]) diese:



1) Es bleibt ungewiß, ob Ammonios I und Heraklas denselben Vater oder dieselbe Mutter haben.

Letztere Tabelle ist die wahrscheinlichere. Denn nach der ersteren wären Antiphanes II und Ammonarion Geschwister, was kaum ungesagt geblieben wäre; die Ausdrucksweise in l. 8 wäre dann seltsam. Ganz verfehlt ist die Verwandtschaftskonstruktion bei Revillout a. O., welcher Antiphanes II und Ammonarion, gleichzeitig aber auch den Ammonios unseres Stammbaumes I und Heraklas zu Geschwistern von Vaterseite macht, übersehend, daß dies durch das Ἀμμωνίου τοῦ Διονυσίου in l. 2 ausgeschlossen ist; es müßte dann heißen Ἀμμωνίου τοῦ Ἀντιφάνους.[1]) Hiermit fällt die ganze Konstruktion, die Revillout dem Tatbestand gibt, zusammen. Über den Sachverhalt läßt sich nur sagen, daß Ammonarion bekennt, von Antiphanes II, der vielleicht (Stammbaum II) als Erbe seines Vaters Ammonios I mit dem verstorbenen Heraklas in Vermögensgemeinschaft gestanden hatte, die letzterem gegebene Mitgift zurückerhalten zu haben, und Ophelus erklärt, zugunsten desselben auf ihr Erbteil nach ihrem Vater Heraklas zu verzichten; letzteres ist etwa so erklärlich, daß Ammonios I meinte, nur unter dieser Voraussetzung zur Rückzahlung der Miftgift aus dem gemeinsamen Vermögen imstande zu sein. Nach Oxy. 260 (**74**) hat Antiphanes III diese Transaktion seiner Schwester nicht anerkannt.

Die Urkundenform ist die der *συγχώρησις* (oben S. 65).

[2] Ἀντίγραφον. Θέωνι ἀρχιδικα[στ]ῆι καὶ πρὸς τῇ ἐπιμελε[ί]ᾳ τ[ῶ]ν χρη[μα]τιστῶν καὶ τῶν ἄλλων κριτηρίων [2] παρὰ Ἀμμωναρί[ο]υ τῆς Ἀμμω-[νί]ου τοῦ Διονυσίου, ὡς ἐν [Πτο]λεμαίδι τῆς Ἑρμίου χρηματί[ζ]ει, ἀ[σ]τῆς καὶ τῆς ταύτης [3] [θ]ῠ[γ]ατρὸς Ὠφε[λοῦτ]ος τῆς Ἡρακλᾶτος τῶν ἀπ' Ὀξυ-ρύγχων πόλεως, μετὰ κυρίο[υ] τῶν δύ[ο] γυναικῶν τ[ο]ῦ τῆς [4] [Ἀμμω-ν]αρίου ὁμ[ομ]ητρίου ἀδ[ε]λφοῦ Βησαρί[ω]νος τοῦ Ἡρ[ᾶτο]ς, ὡς ἐν τῆι αὐτῇ Πτολε[μ]αίδι χρηματίζει, [5] [καὶ παρὰ Γα]ίου Κ[λαυδί]ου Ἀντιφάν[ο]υς 5 *τοῦ Ἀμμωνί[ου τ]ῶν [ἀπὸ] τῆς αὐτῆς Ὀξυρύγχων πόλ[ε]ως. Συνχωροῦμεν [6] [πρὸς ἀλλήλο]υς ἐπὶ τοῖσδε, ὥστε εἶναι ἡ [Ἀμμωνάριο]ν [καὶ] ἡ Ὠφελοῦς εὐπιθεῖς γεγονυῖαι καὶ ἀπεσχηκυῖαι [7] [παρὰ τοῦ Ἀντ]ιφάνους διὰ χειρὸς [ἐ]ξ οἴκου ὃ καὶ ἐπε[ίσθη]σαν κεφάλαιον, ἡ μὲν Ἀμμωνάριον ἀνθ' ἧς προσ-[8] [ηνέγκατο τ]ῷ τοῦ μὲν Ἀντιφάνους πατρὸς ἀδελφ[ῶι] δὲ τῆς Ὠφελο[ῦ]-τος πατρὶ ἑ[αυ]τῆς δὲ γενομένωι [9] καὶ [μετηλλ]αχότι ἀνδρὶ Ἡρακλᾶτι Ἀν-τιφάνους τῶ[ν] ἀπὸ τῆς αὐτῆς Ὀξυρύγχων πόλεως φ[ε]ρν[ῆ]ς [10] τειμ[ῆς* 10 *ἀργ]υρίου δραχμῶν ὀκτακοσίων κατ[ὰ συ]νχώρησιν τὴν τελειωθεῖσαν διὰ τῆς ἐφημερίδος [11] ἐν τοῖς ἔμπ[ρο]σθεν χρόνοις, ἡ δὲ Ὠφελοὺς καὶ αὐ[τὴ]ι ἐξέσταται τῶι Ἀντιφάνει τοῦ κατ' αὐτὴν μ[έ]ρους [12] τῶν ὑπὸ τοῦ μετηλ-λαχότος αὐτῆς πατρὸς Ἡρακλᾶτος ἀπολελιμμένων πάντων, καὶ εἶναι ἄκυρον [13] [τ]ὴν δηλουμένην τοῦ γάμου συγχώρησιν κ[αὶ μη]δεμίαν τῆι Ἀμμωναρίωι καὶ τῆι Ὠφελοῦτι μηδ' ἄλλωι [14] ὑπὲρ αὐτῶν καταλίπεσθαι ἔφ[ο]δον ἐπὶ τὸν Ἀντιφάν[η] μηδὲ ἐπὶ τὰ τοῦ Ἡρακλᾶτος ἀπολελιμμένα, [15] [ἡ] μὲν Ἀμ-* 15

8 l. *τῆς δέ* statt *δὲ τῆς*? cf. Hgg.

15 l. *τῇ μὲν Ἀμμ[ω]ναρίῳ ... τῇ δὲ Ὠφελοῦτι.*

1) Arg. l. 9: *Ἡρακλᾶτι Ἀντιφάνους.*

μ[ω]νάριον μήτε περὶ τῆς διευλυτημένης φερνῆς, ἡ δὲ Ὠφελοῦς μήτε περὶ τῶν [16][ἐξε]σταμένων καθὼς πρόκειτα[ι, ἀμ]φοτέροις δὲ μηδὲ περὶ ἄλλου μηδενὸς ἁπλῶς ἐνγράπτου [17] ἢ ἀγράφου πράγματος τῶν ἐκ τῶν ἐπάνω χρ[ό]ṿων μέχρι τῆς ἐνεστώσης ἡμέρας, ἢ τὴν [18] ἐσομένην ἔφ[ο]δον ἄκυρον καὶ ⟨ἀ⟩πρόσδεκτον ὑπάρχειν. Ἐν δὲ τοῖς προκειμένοις οὐκ ἔνεστι σωματ(ισμός). [19] Ἀξιοῦμεν ὡς καθήκ[ε]ι. (Ἔτους) δ Νέρωνος Κλαυδίου Κ[αί]-
20 σαρ[ο]ς Σεβαστοῦ Γερμανικοῦ Αὐτοκράτορος, μη(νὸς) Νερωνείου [20] Σεβαστοῦ γ. Ἀντίγρα(φον). Ἀπ[ολλώ]νιος· κατακε[χ]ώρισται. Linksseitige Randschrift: [21] (2[te] H.) Μὴ ἐλαττουμένου τοῦ Ἀντιφάνους ἐν τῇ ἐπ[. . . . . .] . [.]α[. . . οὗ] ἐπρίατο [22] παρ' αὐτοῦ μέρους αἰθρίου ἀκολούθως τῇ εἰς αὐτὸṿ [γεγοννίᾳ καταγραφῇ].

16 l. ἀμ]φοτέραις.
18 ἐν — σωματ(ισμός). Bedeutung zweifelhaft. Man hat diese Worte ursprünglich als Begründung für ἀξιοῦμεν aufgefaßt, was sich als unhaltbar herausstellte, seit die Vermehrung der Synchoresis-Urkunden zeigte, daß dieses stets allein steht (vgl. G.-H. zu Oxy. 727 l. 29 und zu Fay. Towns 33 l. 18—19). Sie gehören also noch zum Kontext und bezeichnen irgendeinen vorbehaltenen Punkt. Die sonst übliche Bedeutung von σωμ. = Eintragung oder Verzeichnis (Oxy. 727; Fay. Towns 31 citt.; Teb. 420, 7; BGU 139. 198. 905. 973. 976) paßt hier nicht. Vgl. noch Jouguet, Rev. des études anc. 7, 75; Koschaker, Sav. Z. 28, 272; Eger, Grundbuchswesen 188. — Mißverständliches bei Revillout a. O.
Randschrift l. 21: zu ἐν τῇ — οὗ ἐπρίατο vgl. Oxy. 306.

300. Aus einem Gerichtsprotokoll, betr. Klage einer Frau in ἄγραφος γάμος (?) gegen ihren Mann auf Lieferung der ἕδνα und Rückstellung entwendeter Sachen. — Zweite Hälfte des 4. Jahrh. n. C. — Hermupolis. (Vgl. S. 225.)

Lips. 41 Recto ed. Mitteis. Nachtr. von Wilcken, Arch. 3, 565; 4, 472 fg.

Lit.: de Ruggiero, Nuovi doc. 351 fg.; Mitteis, Sav. Z. 29, 472; Wilcken, Arch. 5, 186 fg.

Das vorliegende Bruchstück enthält die Rede des Anwalts Nilammon für eine gewisse Olympiane in einem Prozeß gegen ihren Ehemann Besarion. Auffallend ist, daß von demselben in l. 3 mit ʽὑπὸ Βησαρίωνός τινος gesprochen wird, da er ja im Prozeß schon identifiziert sein mußte. Ebenso das ʽἕδνοις τισίν in l. 4. Vielleicht liegt eine Überarbeitung des Originals zu einem bloßen Paradigma für juristische Unterrichtszwecke vor, wie wir das öfter finden.

Bestritten ist, ob es sich hier überall bloß um ἕδνα des Bewerbers handelt und dabei die in l. 4 genannten ἕδνα für den Kurator bestimmt waren und die in l. 5 für die Braut (so Wilcken) oder die in l. 4 vom Bewerber der Braut dargebracht wurden, jene in l. 5 Gegengeschenke der Braut an ihn sind (so Mitteis). Daß der Kurator der Frau die Ehe bewilligt, entspricht dem damaligen Recht; vgl. Syr. R.-B. L. 88. Nach l. 13 scheint sich die Frau auch zur Scheidung wegen Desertion berechtigt zu fühlen, was für die Zeit nach Kaiser Julian zutreffen würde (s. meine Bemerkung in der Ausgabe S. 140). Auffallend ist die Bemerkung jedoch insofern, als

nach l. 5 ein ἄγραφος γάμος vorzuliegen scheint, wo wie man anzunehmen pflegt (vgl. S. 208), die Scheidung als freies (d. h. straflos auszuübendes) Recht beider Teile galt. Denn das Wort ἀγράφως in l. 5 bloß auf die Form der Bewilligung des Kurators (ἀγράφως ἐδεξιάσατο) zu beziehen, ist wenig ansprechend.

[1] Νι(λάμμων(?)) ὑ[πὲ]ρ Ὀλ[υ]μπιανῆς [θυγ]ατρὸς Διονυσί[ο]υ ἀπὸ
(2te H.) κουράτορος
πριμιπιλαρίων μετὰ Κάστορος βουλευ[τ]οῦ τῆς λαμπρᾶς [2] Ἑρμο[π]ολειτῶν πόλεως. Ἔ[στιν] ἀμφοῖν τοῖν γονέοιν ὀρφανὴ ἡ βοηθ(ουμένη). Τοῦ οὖν κουράτορος αὐτῆς τοῦ προωνο[3]μασμ[έ]νου Κάστ[ο]ρος [ὑ]π[ὸ Βησ]αρίωνός τιν[ο]ς ἀπὸ βενεφικιαρίου τῆς σεμνῆς ταυτησεὶ τάξεω[ς] ἀξιω[θ]έν[4]τος ἐπὶ ἔδνοις τ[ι]σὶν ὡς ἄγεσθαι βο[ύ]λεσθαι τὴν παῖδα, ὁ μὲν κ[ο]υράτωρ γνώμης γενομέν[η]ς τῆς βοη[θ(ουμένης)] ἐπὶ συμφώ[5]νοις [ἔδ]νοις ἀγρά- 5
φως τὸν γάμον ἐδεξιάσατο, ἐξ ἑτοίμου δὲ μὴ ἔχων ὁ γῆμαι βουληθεὶς τὰ ἔδνα παρα[6]σχέ[σθ]αι [γραμμ]ατ⟨ῖ⟩ον ἔθετο [τ]ῇ νῦν βοηθ(ουμένῃ) με[τὰ] τοῦ κουράτορος καὶ ᾤοντό γε κατὰ τὴν πίστιν τοῦ γραμματείου [7] τὰ ἔδν[α π]αρ[ασχ]ήσεσ[θ]αι, δι[ὸ] καὶ οἱ γάμοι συνήφθησαν. Τούτων οὕτω πεπραγμένων καὶ τῆς [συ]μβιώσεως [8] κατὰ ταῦτ[α . . . .]κυας ἡρμ[ο]σμένης ὁμοῦ οὐκ εἰς μακράν, ἐπειδὴ τὰ ἔδνα ἀπαιτεῖσθαι πρός τε τοῦ κου-[9]ράτορο[ς καὶ αὐ]τ[ῆς] τ[ῆς γ]ημαμ[έ]νης ἔμελλεν, [ο]ὐκ' ἴσμεν ὃν τρόπον
(2te H.) τῆς ⟦θ⟧
βουληθεὶς τὰ μὲν οὐκ ἀπεδίδου [10] ἀνεχώ[ρ]ει δὲ ἀπὸ τ[ῆ]ς ἑσ[τ]ίας, ἐν ᾗ 10
οἱ γάμοι ἐπετελέσθησαν, οὐ τὰ ἑαυτοῦ ἐπικομιζόμενος μόνον, [11] ἀλλὰ κα[ί] τινα [τ]ῆς γη[μ]αμέν[η]ς. Ἐπεὶ τοίνυν τὸ⟦ν⟧ μὲν ἔδνον οὐκ' ἀποδέδωκεν, ἀλλ' ἔτι καὶ νῦν χρεωστῖ [12] ἀλλ' ὃ διήρπασεν [τῆς π]αιδό[ς] ἔτι διακατ[έ]χει ἐν ἀργυρίῳ, καθ' ἑαυτὴν δὲ ἐάσας διαιτᾶσθαι ᾤχετο ὡς [13] ἑαυ[τ]ὸν πέ[μπ]ειν [κατὰ τ]οὺς νόμους μετὰ τοῦ [κ]ουράτορος αὐτῇ ὑπαρχθῆναι παντ⟦η⟧ (α) ἀξιοῦσα(?)· Προηγου[14]μένως μὲν αὐτῇ [ἐ]γ'γράφως τὸ χρεωστού-
(2te H.) ε
μενον ἔδνον ἀποδοθῆναι, ἔπιτα δὲ κα[ὶ] ἃ ἀπηνέγκατο [15]. [. . .] . οντα 15
αὐ[τὸν] τῷ οἰ[κ]είῳ ἀποδοῦναι τόπῳ. Τούτων γὰρ οὕτω πεπραγμένων εἰκότως καὶ ἡ [16] τ[οῦ γ]άμου ἁρμ[ονία] τέλει[ος] ἔσται.

3 l. βενεφικιαρίων.
4/5 ἐπὶ συμφώνοις ἔδνοις ἐδεξιάσατο kann m. E. dem ἀξιοῦν ἐπὶ ἔδνοις l. 2/3 entsprechen und bedeuten, daß der Bräutigam Gegengeschenke erhielt. Wilcken faßt es als: „er bewilligte, wenn die Geschenke des Mannes an die Braut zulänglich erscheinen würden".

11 Der mit ἐπεί beginnende Satz ist anakoluthisch.
13 ὑπαρχθῆναι; die Form kommt auch vor in Amh. 145, 25; Teb. 418, 7; Oxy. 71, 22; P. Aphrod. in Bull. franc. d'archéol. orient. 1908 p. 94 l. 94; P. Herm. 7 I 8. — l. ταῦτα ἀξιούσῃ.
14 l. τὸ ἐγγράφως χρεωστούμενον.

KAPITEL IX.

ERBRECHT.

1. GRIECHISCHE TESTAMENTE.

301. Griechisches Testament in Form einer *συγγραφοφύλαξ*-Urkunde. — 225 v. C. — Krokodilopolis (Arsinoë) im Faijûm. (Vgl. S. 236 fg.)

P. Petrie 1, 19 l. 15—38 ed. Mahaffy. Nachtr. von Wilcken, Wyse, Smyly und Revillout, zusammengestellt in P. Petrie 3 p. 32.

Lit.: Revillout, Précis 1, 771; Arangio-Ruiz a. O. 105.

Der Testator hinterläßt sein ganzes Vermögen einer Frau namens Axiothea, von der man nicht sieht, in welchem Verhältnis sie zu ihm gestanden hat. Falsch ist die Annahme von Revillout a. O., sie müsse wegen des *ἐπιτρόπους* sq. in l. 27 minderjährig gewesen sein. Denn dies bedeutet nicht die Bestellung eines Vormunds, sondern der König wird hier zum Testamentsvollstrecker ernannt (S. 239).

[15] *Ξανδικοῦ α̅ Ἀφροδίσιος Ἀ[ξιοθέαι (?)]*

[16] *[Βασιλεύ]οντος Πτολεμαί⟨ου⟩ τοῦ Π[τολεμαί]ου καὶ Ἀρσινόης θεῶν* [17] *[ἀδελφῶν ἔτους] δεύτερου καὶ ε[ἰ]κοστοῦ [ἐ]φ' [ἱε]ρ[έως]* (folgen die
20 Eponymen) [20] *[μηνὸς Ξ]ανδικοῦ νουμηνίαι ἐγ Κροκοδίλω[ν πόλει τοῦ Ἀρσινοίτου]* [21] *[νομοῦ]. Τάδε διέθετο νοῶν καὶ φρονῶν Ἀφροδίσιος Ἡρακλείδ[ου]* [22] *[. . . . .]ιος παρεπίδημος ὡς ἐτῶν ὀγδοιήκοντα βραχὺς* [23] *[μελίχρ]ως ἐπίγρυπος χαροπὸς κλαστόθριξ ἀναφάλανθος ὦτα* [24] *[τετρη]μένος·*
25 *Εἴη μέμ μοι ὑγιαίνοντα αὐτὸν τὰ ἐμαυτοῦ* [25] *[διοικ]εῖν· ἐὰν δέ τι πάθω ἀνθρώπινον καταλείπω τὰ ὑπάρχοντά μου* [26] *[πάντ]α Ἀξιοθέαι Διζούλου Θράισσηι· ἄλλωι δὲ οὐθενὶ οὐθὲν καταλίπω.* [27] *['Επιτρόπο]υς δὲ αἱροῦμαι βασιλέα Πτολεμαῖον τὸν ἐγ βασιλέως* [28] *[Πτολεμαί]ου καὶ Ἀρσινόης θεῶ[ν Ἀδελ]φῶ[ν] καὶ βασίλισσαν Βερενίκην* [29] *[βασι]λέως Πτολεμαίου ἀδελφὴν*
30 *καὶ γυναῖκα καὶ τὰ τούτων* [30] *[τέκνα]. Μάρτυρες Πάρις Θεοφίλου Θεσσαλὸς τῆς ἐπιγονῆς ὡς ἐτῶν* [31] *[τριάκ?]οντα μέσος μεγέθει μελίχρως μακροπρόσωπος τετανόθριξ* [32] *[οὐλὴ με]τώπωι μέσωι καὶ φακὸς παρ' ὀφθαλμὸν δεξιόν, Γέτας* [33] *[ ] Κῷιος τῆς ἐπιγονῆς ὡς ἐτῶν τριάκοντα μέσος μεγέθει* [34] *[μελίχρ]ως στρογγυλοπρόσωπος ἔνσιμος συνόφρυς οὐλὴ ἐφ' ἑκατέρας*
35 [35] *[. . . . . .], Νείλων Σωταίρου Λιβὺς τῆς ἐπιγονῆς ὡς ἐτῶν τριά*[36] *[κοντα β]ραχὺς μελίχρως στρογγυλοπρόσωπος τετανόθριξ οὐλὴ* [37] *[ἀνὰ μέ]σον ὀφρύων, Δημήτριος Δημητρίου 'Ισθμιεὺς ὡς ἐτῶν* [38] *[ἑβδομ]ήκοντα εὐμεγέθης μελίχρως ἀναφάλακρος ἐπίγρυπος* (Hier bricht der Papyrus ab.)

302. Agoranomisches Testament. — 126 v. C. — Pathyris. (Vgl. S. 236 fg.)

P. Grenf. 1, 21 ed. Grenfell. Nachtr. von Mahaffy in den Nachtr. zu P. Grenf. 2 p. 216; Naber, Arch. 3, 11. Original von Wilcken revidiert.

Lit.: Naber a. O.; Revillout, Précis 1, 764; Arangio-Ruiz a. O. 43 fg.; 69 fg.

Der Erblasser dieses Papyrus, Dryton, ein Offizier kretischer Nationalität, hat dreimal testiert; das erste Testament ist das in l. 6 erwähnte aus dem sechsten Jahr des Philometor, das zweite (Grenf. 1, 12) aus der Gesamtregierung von Philometor und Kleopatra II. Die gegenwärtige Urkunde ist das dritte Testament. Von ihr besteht, wie Naber a. O. richtig erkannt hat, noch ein Rest einer zweiten Ausfertigung in Grenf. 1, 44. Sie ist vor dem Agoranomen errichtet; gegen die sonstige Regel (S. 237), welche auch bei notariellen Testamenten sechs Zeugen mit sich bringt (so auch P. Grenf. 1, 12), werden hier Zeugen nicht namhaft gemacht. Dies erklärt sich daraus, daß unser Papyrus lediglich eine bloß den Hauptinhalt wiedergebende Kopie des Originals darstellen wird.

Dryton war zweimal verheiratet; das erste Mal mit Sarapias, aus welcher Ehe sein Sohn Esthladas stammte, sodann mit der Apollonia. Aus der zweiten Ehe stammten fünf Töchter: Apollonia, Aristous, Aphrodisia, Nikarion und Apollonia die Jüngere (l. 12); dieselben kommen auch in Lond. 2 p. 13 (**18**) vor und zwar daselbst auch unter Anführung ihrer ägyptischen Namen, woraus man sieht, daß die in l. 19 genannte Tachratis mit der Aphrodisia identisch ist. Dryton hinterläßt 1) dem Sohn Streitroß und Waffen, angeblich „nach den Gesetzen"[1]) (woraus Naber einen gesetzlichen Anspruch der Söhne auf das „Heergewäte" erschließen will), und entsprechend dem ältesten Testament, das er also insoweit als fortbestehend ansieht, l. 4/5; 2) von seinen Sklavinnen gibt er zwei dem Sohne, zwei seinen fünf Töchtern, 3) von den Grundstücken hat er einige schon bei Lebzeiten seinem Sohn geschenkt (l. 14), von den übrigen sowie von den Forderungen des Erblassers wird einiges dem Sohn resp. den Töchtern allein vermacht, noch anderes sollen der Sohn einerseits, die Töchter anderseits je zur Hälfte erben. Einige weitere Bestimmungen betreffen den Unterhalt der Witwe, zweier von den Töchtern, und die der Tachratis zu gewährende *φερνή*. Man sieht, daß hier nirgends von Universalsukzession die Rede ist, sondern das Vermögen in Stücken verteilt wird.[2]) Übrigens ist nicht leicht zu bestimmen, wie sich die Bestimmungen dieses dritten Testaments zu jenen des zweiten verhalten sollen.

---

1) Die Richtigkeit des betr. Passus ist mir jedoch sehr zweifelhaft. Das *κατὰ νόμους* folgt in l. 13 auf *ἧι σύνειμι γυναικί*, und da dieselben Worte ihm auch hier vorausgehen, sollte es vielleicht richtig zu diesen gehören. Nach dem vorliegenden Text freilich ist diese Verbindung grammatisch nicht möglich wegen des folgenden '*καὶ κατὰ διαθήκην*.' Aber es ist denkbar, daß das *καὶ* selbst fehlerhaft ist und vom Abschreiber irrig eingefügt wurde.

2) Die Meinung von Arangio-Ruiz p. 71, wonach der Sohn Universalsukzessor ist, beruht auf Mißverständnis der Worte *δίδωμι τὰ ὑπάρχοντα — προσεπικτήσωμαι* in l. 3: diese beziehen sich nicht auf den Sohn allein, sondern sind Einleitung zum Gesamttestament; dies zeigt das *τὸν μὲν ἵππον*, welches darauf folgt.

Verfehlt sind, wie Arangio-Ruiz richtig bemerkt, die Ausführungen von Revillout a. O., wonach die zweite Frau des Dryton eine Ägypterin und die zweite Ehe keine rechte gewesen sein soll. Vielmehr war jene Frau eine Kyrenäerin (Grenf. 1, 18, 2 fg.; 19, 2; 20, 2).

[1] [Ἔτους μδ Παῦνι $\overline{\vartheta}$ ἐν Παθύρει ἐπ'] Ἀσκληπιάδου ἀγορανόμου. Τάδε διέθετο ὑγιαίνων νοῶν φρονῶν Δρύτων Παμφίλου Κρὴς τῶν διαδόχων καὶ [2] [τοῦ ἐπιτάγματος ἵππαρχο]ς ἐπ' ἀνδρῶν. Ε[ἴ]ηι μέμ μοι ὑγιαίνοντι τῶν ἐμαυτοῦ κύριον εἶναι· ἐὰν δέ τι ἀνθρώπινον πάθω, καταλείπω καὶ [3] [δίδωμι τὰ ὑπάρχοντά μοι ἔγγαι]ά τε καὶ ἔπιπλα καὶ κτήνη καὶ ὅσα ἂν προσεπικτήσωμαι, τὸν μὲν ἵππον ἐφ' οὗ στρατεύομαι καὶ τὰ ὅπλα [4] [πάντα Ἐσθλάδηι τῶι ἐξ ἐμ]οῦ καὶ ἐξ Σαραπιάδος τῆς Ἐσθλάδου τοῦ
5 *Θέωνος ἀστῆς ἧι συνήμην γυναικὶ κατὰ νόμους καὶ κατὰ διαθήκην [5] [τὴν ἀνακομισθεῖσαν (?) π]αρὰ τοῦ ἐν Διοσπό(λει) τῆι μι(κρᾶι) ἀρχείου ἐπὶ Διονυσίου ἀγορανόμου ἐν τῶι ς (ἔτει) ἐπὶ τοῦ Φιλομήτορος, ἣ διασαφεῖ τά τε ἄλλα [6] [καὶ . . . .]νοντα συγγενῆι κατέστησεν, καὶ ἀπὸ τῶν οἰκετικῶν σωμάτων $\overline{\delta}$, ὧν ὀνόματα Μυρσίνην καὶ ταύτης [7] [θυγατέρα (?) τὰ δὲ λ]οιπὰ θ[ηλ]υκὰ β αἷς ὄνομα Εἰρήνην καὶ Ἀμπέλιον Ἀπολλωνίαι καὶ ταῖς ἀδ(ελφαῖς) οὔσι $\overline{\varepsilon}$, καὶ τὸ《ν》 ὑπάρχον《τα》 μοι ἐπὶ τοῦ [8] [. . . . .]ς τοῦ Πα̣[θυ]ρ̣(ίτου) ἔδα(φος) ἀμπελῶ(νος), καὶ τὰ ἐν τούτωι φρέατα ἐξ ὀπτῆς πλί(νθου), καὶ τἆλλα συνκύροντα καὶ τὴν ἅμαξαν σὺν τῆι [9] [ἐπισκευῆι καὶ τὸν περιστ]ερῶνα κ[αὶ] τὸν ἄλλον ἡμιτέλεστον καὶ αὐλήν, ὧν γείτονες νό(του) ψιλοὶ τοῦ αὐ(τοῦ) Ἐσθλάδου,*
10 *βο(ρρᾶ) οἶκος κεκαμαρωμένος Ἀπολλω(νίας) τῆς νεω(τέρας) [10] [ἀπη]λι(ώτου) τόπ[ος ψιλὸ]ς Πέτρασ[. .]ι̣ τοῦ Ἐσθλά[δο]υ λι(βὸς) ψιλὸς τόπος Ἐσθλάδου ἕως τῆ[ς] ἀνεωγμένης θύ(ρας) ἐπὶ λίβα. Τοὺς δὲ λο(ιποὺς) οἴκους καὶ χρητῆρας [11] [ ] κ̣α̣ὶ αλ̣[. . . . .] καὶ ψιλὸν τόπον εἰς [π]εριστερῶνα ἀποδεδειγμένον ὑποκάτω τῆς Ἐσθλά(δου) θύ(ρας) καὶ ἀπὸ λι(βὸς) τῆς καμάρας δίδωμι [12] [Ἀπολ]λωνίαι καὶ Ἀριστοῖ καὶ Ἀφροδισίαι καὶ Νι[κα]ρίωι καὶ Ἀπολλωνίαι νεωτέραι οὔσι $\overline{\varepsilon}$, ταῖς ἐξ ἐμοῦ καὶ ἐξ Ἀπολλωνίας τῆς καὶ Σεμμώνθιος [13] [ἧι σύ]νειμι γυ(ναικὶ) κατὰ νό(μους) καὶ τὰ θη[λ]υκὰ $\overline{\beta}$ σώμα[τ]α καὶ τὴν βοῦν ἐξ ἴσου κυριευέτωσαν ταῖς οἰκίαις, καθ' ὃν πεποίημαι μερισμόν. [14] [Δότ?]ω δὲ Ἐσθλάδας ἀπὸ τοῦ δεδομένου αὐ[τῷ] ψιλο[ῦ τ]όπου ἀπέναντι τῆς θύ(ρας) αὐ(τοῦ) ἐπὶ λί[β]α πή(χεις) ἐμβα-*
15 *δοὺς $\overline{\delta}$ εἰς κλιβάνου τόπον. Τὰ δὲ λο(ιπὰ) οἰκόπεδα [15] [καὶ ψι]λοὶ τόποι ἐν Διοσπό(λει) τῆι μεγά(ληι) ἐν τῶι Ἀμμω(νίῳ) [κ]αὶ ἐν τοῖς Κεραμείοις ἐχέτω Ἐσθλάδας κατὰ τὸ (ἥμισυ), Ἀπολλω(νία) δὲ καὶ ἀδελφαὶ κατὰ τὸ (ἥμισυ), καὶ [16] [τἆλλα ὑ]πάρχοντά μοι πάντα σύμβο(λά) τε σιτικὰ [κα]ὶ ἀργυ(ρικὰ) καὶ ἔπιπλα πάντα κατὰ τὸ (ἥμισυ). Δότω δὲ Ἐσθλά(δης) καὶ*

7 z. A.: oder θυ(γατέρα) mit Nom. propr. zu ergänzen? — οὖσι l. οὔσαις. — ἀδ(ελφαῖς) W.

8 ἐξ ὀπτῆς (so W.; ἐξόπτης Grenf.) πλί(νθου), von gebackenen Ziegeln.

10 χρητῆρας ist dunkel; vgl. Mayser, Grammat. der griech. Pap. 439.

14 [δότ?]ω W.; [ἐχέτ]ω Grenf.

16 ὑπάρχοντα κατὰ σύμβολα sind ausständige Forderungen.

αἱ περὶ Ἀπολλωνίαν κατὰ κοινὸν [17][*εἰς οἰκ*]*οδομὴν περιστερῶνος ἀνηλώματα ε*[*ἰς*] *τὸν ἀποδεδειγμένον περιστερῶνα, ἕως ἂν ἐπιτελέσωσι· καὶ Ἀπολλωνίαι τῆι καὶ Σεμμώνθει* [18][*τῆι ἐ*]*μῆι γυ(ναικὶ) ἐτῶν δ, ἐὰν παραμείνηι ἐ*[*ν τῷ*] *οἴκωι ἀνέγκλητος οὖσα, εἰς τροφὴν αὐ(τῆς) καὶ ταῖς β̄ θυγατράσιν, ἑκάσ(του) μη(νὸς) (πυροῦ) β (ἥμισυ) κρότω(νος) ιβ χα(λκοῦ) Σ.* [19][*Ἐπὶ*] *δὲ τὰ δ ἔτη τὰ αὐτὰ μετρήματα* [*δότ*]*ωσαν ταῖς β̄ νεωτέραι⟨ς⟩ ἐκ κοινοῦ ἕως ἐτῶν ια. Δότωσαν δὲ Ταχράτει εἰς φερνὴν* [20][*χαλκο*]*ῦ (τάλαντα) ιβ ἐκ τῶν κοινῶν. Ὅσα δ᾽ ἂν φαίνητ*[*αι ἐπ*]*ίκτη(τα) ἔχουσα ἡ Σεμμῶνθις ὄντα αὐτῆι συνοῦσα Δρύτωνι, κυριευέτω αὐτῶν,* [21][*οἱ δ᾽ ἐπ*]*ελεύσοντες ἐπ᾽ αὐτὴν περὶ τούτ*[*ων*] [22](*Ἔτους*) *μ̣δ Παῦνι θ̄.* 20

18 ἐ[ν τῷ] W. — πυροῦ: sc. ἀρτάβας. — χα(λκοῦ): sc. δραχμάς. — ταῖς β̄ θυγατράσι: hiermit scheint die zweit- und drittälteste Tochter gemeint zu sein.

303. Agoranomisches Testament. — 117—137 n. C. — Oxyrhynchos.

P. Oxy. 105 edd. Grenfell-Hunt. Nachtr. von Wilamowitz, GGA 1898, 683. Lit.: Arangio-Ruiz 75 fg.; 96.

Der Testator setzt seine Tochter zur Erbin ein (*κληρονόμον ἀπολείπω*), aber ex re certa, nämlich auf bestimmte Hausanteile. Den Nießbrauch derselben aber, sowie das Eigentum seiner Fahrnisse hinterläßt er seiner Frau. Für den Teil der Tochter errichtet er eine Ersatz- und eine Nacherbeinsetzung, welch letztere aber nur gelten soll, wenn die Tochter nicht selbst ein Testament macht.

